# Πρὸς Κορινθίους Β

Παῦλος ἀπόστολος Ἰησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος[1] 1
ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ,[2] σὺν τοῖς
ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ:[3] χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ 2
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ. Εὐλογητὸς[4] ὁ θεὸς καὶ 3
πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν[5] καὶ
θεὸς πάσης παρακλήσεως,[6] ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει 4
ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ
τῆς παρακλήσεως[6] ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ. Ὅτι 5
καθὼς περισσεύει τὰ παθήματα[7] τοῦ χριστοῦ εἰς ἡμᾶς, οὕτως διὰ τοῦ
χριστοῦ περισσεύει καὶ ἡ παράκλησις[6] ἡμῶν. Εἴτε δὲ θλιβόμεθα,[8] 6
ὑπὲρ τῆς ὑμῶν παρακλήσεως[6] καὶ σωτηρίας, τῆς ἐνεργουμένης[9] ἐν
ὑπομονῇ τῶν αὐτῶν παθημάτων[7] ὧν καὶ ἡμεῖς πάσχομεν: καὶ ἡ
ἐλπὶς ἡμῶν βεβαία[10] ὑπὲρ ὑμῶν: εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς
ὑμῶν παρακλήσεως[6] καὶ σωτηρίας: εἰδότες ὅτι ὥσπερ κοινωνοί[11] ἐστε 7
τῶν παθημάτων,[7] οὕτως καὶ τῆς παρακλήσεως.[6] Οὐ γὰρ θέλομεν 8
ὑμᾶς ἀγνοεῖν,[12] ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν
ἐν τῇ Ἀσίᾳ,[13] ὅτι καθ' ὑπερβολὴν[14] ἐβαρήθημεν[15] ὑπὲρ δύναμιν,
ὥστε ἐξαπορηθῆναι[16] ἡμᾶς καὶ τοῦ ζῆν. Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ 9

[1] Τιμόθεος, ου, ὁ, Timothy. [2] Κόρινθος, ου, ἡ, Corinth. [3] Ἀχαΐα, ας, ἡ, Achaia. [4] εὐλογητός, well spoken of, blessed. [5] οἰκτιρμός, οῦ, ὁ, compassion, pity. [6] παράκλησις, εως, ἡ, exhortation, consolation. [7] πάθημα, τος, τό, suffering, passion. [8] θλίβω, press, oppress. [9] ἐνεργέω, work, effect. [10] βέβαιος, firm, secure. [11] κοινωνός, οῦ, ὁ, partner, sharer. [12] ἀγνοέω, not know, be unaware. [13] Ἀσία, ας, ἡ, Asia. [14] ὑπερβολή, ῆς, ἡ, excess, superiority. [15] βαρέω, burden, weigh down. [16] ἐξαπορέομαι, despair, am utterly without resource.

ἀπόκριμα[1] τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ’
ἑαυτοῖς ἀλλ’ ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς: ὃς ἐκ τηλικούτου 10
θανάτου ἐρρύσατο[3] ἡμᾶς καὶ ῥύεται,[3] εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι
ῥύσεται,[3] συνυπουργούντων[4] καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει,[5] ἵνα ἐκ 11
πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα[6] διὰ πολλῶν εὐχαριστηθῇ
ὑπὲρ ὑμῶν.

Ἡ γὰρ καύχησις[7] ἡμῶν αὕτη ἐστίν, τὸ μαρτύριον[8] τῆς συνειδήσεως 12
ἡμῶν, ὅτι ἐν ἁπλότητι[9] καὶ εἰλικρινείᾳ[10] θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ[11]
ἀλλ’ ἐν χάριτι θεοῦ, ἀνεστράφημεν[12] ἐν τῷ κόσμῳ, περισσοτέρως[13]
δὲ πρὸς ὑμᾶς. Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ’ ἢ ἃ ἀναγινώσκετε ἢ 13
καὶ ἐπιγινώσκετε, ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε: καθὼς 14
καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα[14] ὑμῶν ἐσμέν, καθάπερ
καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ.

Καὶ ταύτῃ τῇ πεποιθήσει[16] ἐβουλόμην ἐλθεῖν πρὸς ὑμᾶς τὸ πρότερον,[17] 15
ἵνα δευτέραν χάριν ἔχητε: καὶ δι’ ὑμῶν διελθεῖν εἰς Μακεδονίαν,[18] 16
καὶ πάλιν ἀπὸ Μακεδονίας[18] ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ’ ὑμῶν
προπεμφθῆναι[19] εἰς τὴν Ἰουδαίαν. Τοῦτο οὖν βουλευόμενος,[20] μήτι[21] 17
ἄρα[22] τῇ ἐλαφρίᾳ[23] ἐχρησάμην;[24] Ἢ ἃ βουλεύομαι,[20] κατὰ σάρκα

[1] ἀπόκριμα, τος, τό, sentence, decision. [2] τηλικοῦτος, so great, so large. [3] ῥύομαι, rescue, save. [4] συνυπουργέω, join in helping, help together. [5] δέησις, εως, ἡ, entreaty, prayer. [6] χάρισμα, τος, τό, gift, undeserved favor. [7] καύχησις, εως, ἡ, boasting, act of boasting. [8] μαρτύριον, ου, τό, testimony, witness. [9] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [10] εἰλικρίνεια, ας, ἡ, sincerity, purity of motive. [11] σαρκικός, fleshly, carnal. [12] ἀναστρέφω, return, live. [13] περισσῶς, abundantly, exceedingly. [14] καύχημα, τος, τό, boasting, ground of boasting. [15] καθάπερ, even as, just as. [16] πεποίθησις, εως, ἡ, confidence, trust. [17] πρότερον, formerly, before. [18] Μακεδονία, ας, ἡ, Macedonia. [19] προπέμπω, send before, send forth. [20] βουλεύω, deliberate, take counsel. [21] μήτι, interrogative particle expecting a negative answer. [22] ἆρα, so? (introduces a question). [23] ἐλαφρία, ας, ἡ, vacillation, levity. [24] χράομαι, use, make use of.

βουλεύομαι,[1] ἵνα ᾖ παρ’ ἐμοὶ τὸ Ναί, ναὶ καὶ τὸ Οὔ, οὔ; Πιστὸς δὲ ὁ 18
θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο Ναὶ καὶ οὔ. Ὁ γὰρ 19
τοῦ θεοῦ υἱὸς Ἰησοῦς χριστὸς ὁ ἐν ὑμῖν δι’ ἡμῶν κηρυχθείς, δι’ ἐμοῦ
καὶ Σιλουανοῦ[2] καὶ Τιμοθέου,[3] οὐκ ἐγένετο Ναὶ καὶ Οὔ, ἀλλὰ Ναὶ
ἐν αὐτῷ γέγονεν. Ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ Ναί, καὶ ἐν 20
αὐτῷ τὸ Ἀμήν, τῷ θεῷ πρὸς δόξαν δι’ ἡμῶν. Ὁ δὲ βεβαιῶν[4] ἡμᾶς 21
σὺν ὑμῖν εἰς χριστόν, καὶ χρίσας[5] ἡμᾶς, θεός: ὁ καὶ σφραγισάμενος[6] 22
ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα[7] τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι 23
φειδόμενος[8] ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον.[9] Οὐχ ὅτι κυριεύομεν[10] 24
ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί[11] ἐσμεν τῆς χαρᾶς ὑμῶν: τῇ γὰρ
πίστει ἑστήκατε.

Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐν λύπῃ[12] πρὸς ὑμᾶς ἐλθεῖν. Εἰ **2**
γὰρ ἐγὼ λυπῶ[13] ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων[14] με, εἰ μὴ ὁ
λυπούμενος[13] ἐξ ἐμοῦ; Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν 3
λύπην[12] ἔχω ἀφ’ ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ
ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστίν. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς[15] 4
καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων,[16] οὐχ ἵνα λυπηθῆτε,[13]

[1] βουλεύω, deliberate, take counsel. [2] Σιλουανός, οῦ, ὁ, Silvanus. [3] Τιμόθεος, ου, ὁ, Timothy. [4] βεβαιόω, confirm, secure. [5] χρίω, anoint. [6] σφραγίζω, seal, set a seal upon. [7] ἀρραβών, ῶνος, ὁ, earnest, pledge. [8] φείδομαι, spare, abstain. [9] Κόρινθος, ου, ἡ, Corinth. [10] κυριεύω, be lord over, rule. [11] συνεργός, οῦ, ὁ, fellow worker. [12] λύπη, ης, ἡ, pain, grief. [13] λυπέω, grieve, pain. [14] εὐφραίνω, rejoice, cheer. [15] συνοχή, ῆς, ἡ, dismay, anguish. [16] δάκρυον, ου, τό, teardrop, a tear.

ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως[1] εἰς ὑμᾶς.

Εἰ δέ τις λελύπηκεν,[2] οὐκ ἐμὲ λελύπηκεν,[2] ἀλλὰ ἀπὸ μέρους – ἵνα μὴ 5
ἐπιβαρῶ[3] – πάντας ὑμᾶς. Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία[4] αὕτη ἡ ὑπὸ 6
τῶν πλειόνων: ὥστε τοὐναντίον[5] μᾶλλον ὑμᾶς χαρίσασθαι[6] καὶ 7
παρακαλέσαι, μήπως[7] τῇ περισσοτέρᾳ[8] λύπῃ[9] καταποθῇ[10] ὁ τοιοῦτος.
Διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι[11] εἰς αὐτὸν ἀγάπην. Εἰς τοῦτο γὰρ καὶ 8
ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν[12] ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί[13] ἐστε. Ὧ 10
δέ τι χαρίζεσθε,[6] καὶ ἐγώ: καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι,[6] ᾧ
κεχάρισμαι,[6] δι᾽ ὑμᾶς ἐν προσώπῳ χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν 11
ὑπὸ τοῦ Σατανᾶ: οὐ γὰρ αὐτοῦ τὰ νοήματα[15] ἀγνοοῦμεν.[16]

Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα[17] εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ θύρας 12
μοι ἀνεῳγμένης ἐν κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν[18] τῷ πνεύματί μου, τῷ 13
μὴ εὑρεῖν με Τίτον[19] τὸν ἀδελφόν μου: ἀλλὰ ἀποταξάμενος[20] αὐτοῖς
ἐξῆλθον εἰς Μακεδονίαν.[21] Τῷ δὲ θεῷ χάρις τῷ πάντοτε 14
θριαμβεύοντι[22] ἡμᾶς ἐν τῷ χριστῷ, καὶ τὴν ὀσμὴν[23] τῆς γνώσεως[24]
αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ. Ὅτι χριστοῦ εὐωδία[25] 15
ἐσμὲν τῷ θεῷ ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις: οἷς μὲν 16
ὀσμὴ[23] θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ[23] ζωῆς εἰς ζωήν. Καὶ πρὸς

[1] περισσῶς, abundantly, exceedingly. [2] λυπέω, grieve, pain. [3] ἐπιβαρέω, burden weigh down, burden. [4] ἐπιτιμία, ας, ἡ, punishment. [5] τοὐναντίον, on the contrary. [6] χαρίζομαι, give freely, forgive. [7] μήπως, lest in any way, lest perhaps. [8] περισσός, excessive, abundant. [9] λύπη, ης, ἡ, pain, grief. [10] καταπίνω, drink down, swallow. [11] κυρόω, confirm, ratify. [12] δοκιμή, ῆς, ἡ, proof, approval. [13] ὑπήκοος, obedient, listening to. [14] πλεονεκτέω, take advantage, take advantage of. [15] νόημα, τος, τό, thought, mind. [16] ἀγνοέω, not know, be unaware. [17] Τρῳάς, άδος, ἡ, Troas. [18] ἄνεσις, εως, ἡ, loosening, relaxation. [19] Τίτος, ου, ὁ, Titus. [20] ἀποτάσσομαι, set apart, take leave of. [21] Μακεδονία, ας, ἡ, Macedonia. [22] θριαμβεύω, lead in a triumphal procession. [23] ὀσμή, ῆς, ἡ, smell, aroma. [24] γνῶσις, εως, ἡ, wisdom, knowledge. [25] εὐωδία, ας, ἡ, fragrance, sweet smell.

ταῦτα τίς ἱκανός; Οὐ γάρ ἐσμεν ὡς οἱ λοιποί, καπηλεύοντες[1] τὸν 17
λόγον τοῦ θεοῦ· ἀλλʼ ὡς ἐξ εἰλικρινείας,[2] ἀλλʼ ὡς ἐκ θεοῦ,
κατενώπιον[3] τοῦ θεοῦ, ἐν χριστῷ λαλοῦμεν.

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν;[4] Εἰ μὴ χρῄζομεν,[5] ὥς τινες, **3**
συστατικῶν[6] ἐπιστολῶν[7] πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν συστατικῶν;[6] Ἡ 2
ἐπιστολὴ[7] ἡμῶν ὑμεῖς ἐστέ, ἐγγεγραμμένη[8] ἐν ταῖς καρδίαις ἡμῶν,
γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων· 3
φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ[7] χριστοῦ διακονηθεῖσα ὑφʼ ἡμῶν,
ἐγγεγραμμένη[8] οὐ μέλανι,[9] ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν
πλαξὶν[10] λιθίναις,[11] ἀλλʼ ἐν πλαξὶν[10] καρδίαις σαρκίναις.[12] 4
Πεποίθησιν[13] δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεόν· οὐχ 5
ὅτι ἱκανοί ἐσμεν ἀφʼ ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλʼ ἡ
ἱκανότης[14] ἡμῶν ἐκ τοῦ θεοῦ· ὃς καὶ ἱκάνωσεν[15] ἡμᾶς διακόνους 6
καινῆς διαθήκης, οὐ γράμματος,[16] ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα[16]
ἀποκτένει, τὸ δὲ πνεῦμα ζῳοποιεῖ.[17] Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν 7
γράμμασιν,[16] ἐντετυπωμένη[18] ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ
δύνασθαι ἀτενίσαι[19] τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως
διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, τὴν καταργουμένην,[20] πῶς οὐχὶ 8
μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; Εἰ γὰρ ἡ διακονία 9

[1] καπηλεύω, trade in, peddle. [2] εἰλικρίνεια, ας, ἡ, sincerity, purity of motive. [3] κατενώπιον, before, in the presence of (gen). [4] συνίστημι, commend (transitive), stand with. [5] χρῄζω, need, have need of. [6] συστατικός, commendatory. [7] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [8] ἐγγράφω, inscribe, write. [9] μέλαν, ink. [10] πλάξ, πλακός, ἡ, tablet, table. [11] λίθινος, of stone, made of stone. [12] σάρκινος, of the flesh, fleshly. [13] πεποίθησις, εως, ἡ, confidence, trust. [14] ἱκανότης, ητος, ἡ, fitness, sufficiency. [15] ἱκανόω, make sufficient, qualify. [16] γράμμα, τος, τό, letter, writings. [17] ζῳοποιέω, make alive, make to live. [18] ἐντυπόω, carve, impress. [19] ἀτενίζω, gaze, stare. [20] καταργέω, make ineffective, abolish.

τῆς κατακρίσεως[1] δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς
δικαιοσύνης ἐν δόξῃ. Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν 10
τούτῳ τῷ μέρει, ἕνεκεν[2] τῆς ὑπερβαλλούσης[3] δόξης. Εἰ γὰρ τὸ 11
καταργούμενον,[4] διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ.

Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα:[5] καὶ οὐ 12
καθάπερ[6] Μωϋσῆς ἐτίθει κάλυμμα[7] ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς
τὸ μὴ ἀτενίσαι[8] τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου:[4] 14
ἀλλ' ἐπωρώθη[9] τὰ νοήματα[10] αὐτῶν: ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ
κάλυμμα[7] ἐπὶ τῇ ἀναγνώσει[11] τῆς παλαιᾶς[12] διαθήκης μένει μὴ
ἀνακαλυπτόμενον,[13] ὅ τι ἐν χριστῷ καταργεῖται.[4] Ἀλλ' ἕως σήμερον, 15
ἡνίκα[14] ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα[7] ἐπὶ τὴν καρδίαν αὐτῶν
κεῖται.[15] Ἡνίκα[14] δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται[16] τὸ 16
κάλυμμα.[7] Ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν: οὗ[17] δὲ τὸ πνεῦμα κυρίου, 17
ἐκεῖ ἐλευθερία.[18] Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ[13] προσώπῳ τὴν 18
δόξαν κυρίου κατοπτριζόμενοι,[19] τὴν αὐτὴν εἰκόνα[20]
μεταμορφούμεθα[21] ἀπὸ δόξης εἰς δόξαν, καθάπερ[6] ἀπὸ κυρίου
πνεύματος.

[1] κατάκρισις, εως, ἡ, condemnation, act of condemnation. [2] ἕνεκεν, for the sake of, on account of. [3] ὑπερβάλλω, go beyond, surpass. [4] καταργέω, make ineffective, abolish. [5] χράομαι, use, make use of. [6] καθάπερ, even as, just as. [7] κάλυμμα, τος, τό, covering, veil. [8] ἀτενίζω, gaze, stare. [9] πωρόω, harden, render callous. [10] νόημα, τος, τό, thought, mind. [11] ἀνάγνωσις, εως, ἡ, reading. [12] παλαιός, old, ancient. [13] ἀνακαλύπτω, uncover, unveil. [14] ἡνίκα, when, at which time. [15] κεῖμαι, lie, be laid. [16] περιαιρέω, cast off, take away. [17] οὗ, where, when. [18] ἐλευθερία, ας, ἡ, liberty, freedom. [19] κατοπτρίζομαι, show as in a mirror, mirror. [20] εἰκών, όνος, ἡ, image, likeness. [21] μεταμορφόω, change the form, transform.

Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν,[1] οὐκ **4**
ἐκκακοῦμεν:[2] ἀλλὰ ἀπειπάμεθα[3] τὰ κρυπτὰ[4] τῆς αἰσχύνης,[5] μὴ 2
περιπατοῦντες ἐν πανουργίᾳ[6] μηδὲ δολοῦντες[7] τὸν λόγον τοῦ θεοῦ,
ἀλλὰ τῇ φανερώσει[8] τῆς ἀληθείας συνιστῶντες[9] ἑαυτοὺς πρὸς πᾶσαν
συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ θεοῦ. Εἰ δὲ καὶ ἔστιν 3
κεκαλυμμένον[10] τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶν
κεκαλυμμένον:[10] ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν[11] τὰ 4
νοήματα[12] τῶν ἀπίστων,[13] εἰς τὸ μὴ αὐγάσαι[14] αὐτοῖς τὸν φωτισμὸν[15]
τοῦ εὐαγγελίου τῆς δόξης τοῦ χριστοῦ, ὅς ἐστιν εἰκὼν[16] τοῦ θεοῦ. Οὐ 5
γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ χριστὸν Ἰησοῦν κύριον: ἑαυτοὺς δὲ
δούλους ὑμῶν διὰ Ἰησοῦν. Ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς 6
λάμψαι,[17] ὃς ἔλαμψεν[17] ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν[15] τῆς
γνώσεως[18] τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Ἰησοῦ χριστοῦ.

Ἔχομεν δὲ τὸν θησαυρὸν[19] τοῦτον ἐν ὀστρακίνοις[20] σκεύεσιν,[21] ἵνα ἡ 7
ὑπερβολὴ[22] τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν: ἐν παντὶ 8
θλιβόμενοι,[23] ἀλλʼ οὐ στενοχωρούμενοι:[24] ἀπορούμενοι,[25] ἀλλʼ οὐκ
ἐξαπορούμενοι:[26] διωκόμενοι, ἀλλʼ οὐκ ἐγκαταλειπόμενοι:[27] 9
καταβαλλόμενοι,[28] ἀλλʼ οὐκ ἀπολλύμενοι: πάντοτε τὴν νέκρωσιν[29] 10

[1] ἐλεέω, have mercy, pity. [2] ἐκκακέω, am faint, am weary. [3] ἀπεῖπον, speak out, renounce. [4] κρυπτός, hidden, secret. [5] αἰσχύνη, ης, ἡ, shame. [6] πανουργία, ας, ἡ, cleverness, craftiness. Trickery. [7] δολόω, falsify, adulterate. [8] φανέρωσις, εως, ἡ, disclosure, announcement. [9] συνίστημι, commend (transitive), stand with. [10] καλύπτω, cover, veil. [11] τυφλόω, blind, make blind. [12] νόημα, τος, τό, thought, mind. [13] ἄπιστος, unbelieving, faithless. [14] αὐγάζω, see, shine forth. [15] φωτισμός, οῦ, ὁ, enlightenment, light. [16] εἰκών, όνος, ἡ, image, likeness. [17] λάμπω, shine. [18] γνῶσις, εως, ἡ, wisdom, knowledge. [19] θησαυρός, οῦ, ὁ, storehouse, treasure. [20] ὀστράκινος, made of earth or clay, made of earth. [21] σκεῦος, ους, τό, vessel, goods (plural). [22] ὑπερβολή, ῆς, ἡ, excess, superiority. [23] θλίβω, press, oppress. [24] στενοχωρέω, press upon, cramp. [25] ἀπορέω, be at a loss, be perplexed. [26] ἐξαπορέομαι, despair, am utterly without resource. [27] ἐγκαταλείπω, leave behind, forsake. [28] καταβάλλω, strike down, found. [29] νέκρωσις, εως, ἡ, death, putting to death.

τοῦ κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες,[1] ἵνα καὶ ἡ ζωὴ τοῦ
Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ[2] γὰρ ἡμεῖς οἱ ζῶντες εἰς 11
θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ
φανερωθῇ ἐν τῇ θνητῇ[3] σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν 12
ἐνεργεῖται,[4] ἡ δὲ ζωὴ ἐν ὑμῖν. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς 13
πίστεως, κατὰ τὸ γεγραμμένον, Ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς
πιστεύομεν, διὸ καὶ λαλοῦμεν: εἰδότες ὅτι ὁ ἐγείρας τὸν κύριον 14
Ἰησοῦν καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν. Τὰ γὰρ 15
πάντα δι’ ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα[5] διὰ τῶν πλειόνων τὴν
εὐχαριστίαν[6] περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ.

Διὸ οὐκ ἐκκακοῦμεν,[7] ἀλλ’ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται,[8] 16
ἀλλ’ ὁ ἔσωθεν[9] ἀνακαινοῦται[10] ἡμέρᾳ καὶ ἡμέρᾳ. Τὸ γὰρ παραυτίκα[11] 17
ἐλαφρὸν[12] τῆς θλίψεως ἡμῶν καθ’ ὑπερβολὴν[13] εἰς ὑπερβολὴν[13]
αἰώνιον βάρος[14] δόξης κατεργάζεται[15] ἡμῖν, μὴ σκοπούντων[16] ἡμῶν 18
τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα: τὰ γὰρ βλεπόμενα
πρόσκαιρα:[17] τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος[18] ἡμῶν οἰκία τοῦ σκήνους[19] καταλυθῇ,[20] **5**
οἰκοδομὴν[21] ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον,[22] αἰώνιον ἐν τοῖς

[1] περιφέρω, carry about, carry around. [2] ἀεί, always, ever. [3] θνητός, subject to death, mortal. [4] ἐνεργέω, work, effect. [5] πλεονάζω, superabound, make to abound. [6] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [7] ἐκκακέω, am faint, am weary. [8] διαφθείρω, destroy utterly, spoil. [9] ἔσωθεν, from within, within. [10] ἀνακαινόω, renew, amend. [11] παραυτίκα, immediately, for the moment. [12] ἐλαφρός, light, easy to bear. [13] ὑπερβολή, ῆς, ἡ, excess, superiority. [14] βάρος, ους, τό, burden, weight. [15] κατεργάζομαι, work out, produce. [16] σκοπέω, look at, contemplate. [17] πρόσκαιρος, temporary, passing. [18] ἐπίγειος, of the earth, earthly. [19] σκῆνος, ους, τό, tent, lodging. [20] καταλύω, destroy, lodge. [21] οἰκοδομή, ῆς, ἡ, building, edification. [22] ἀχειροποίητος, not made with hands, not made by hand.

οὐρανοῖς. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν,[1] τὸ οἰκητήριον[2] ἡμῶν τὸ ἐξ 2
οὐρανοῦ ἐπενδύσασθαι[3] ἐπιποθοῦντες·[4] εἴγε[5] καὶ ἐνδυσάμενοι[6] οὐ 3
γυμνοὶ[7] εὑρεθησόμεθα. Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει[8] στενάζομεν[1] 4
βαρούμενοι·[9] ἐφ᾽ ᾧ οὐ θέλομεν ἐκδύσασθαι,[10] ἀλλ᾽ ἐπενδύσασθαι,[3]
ἵνα καταποθῇ[11] τὸ θνητὸν[12] ὑπὸ τῆς ζωῆς. Ὁ δὲ κατεργασάμενος[13] 5
ἡμᾶς εἰς αὐτὸ τοῦτο θεός, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα[14] τοῦ
πνεύματος. Θαρροῦντες[15] οὖν πάντοτε, καὶ εἰδότες ὅτι ἐνδημοῦντες[16] 6
ἐν τῷ σώματι ἐκδημοῦμεν[17] ἀπὸ τοῦ κυρίου – διὰ πίστεως γὰρ 7
περιπατοῦμεν, οὐ διὰ εἴδους[18] – θαρροῦμεν[15] δέ, καὶ εὐδοκοῦμεν[19] 8
μᾶλλον ἐκδημῆσαι[17] ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι[16] πρὸς τὸν
κύριον. Διὸ καὶ φιλοτιμούμεθα,[20] εἴτε ἐνδημοῦντες,[16] εἴτε 9
ἐκδημοῦντες,[17] εὐάρεστοι[21] αὐτῷ εἶναι. Τοὺς γὰρ πάντας ἡμᾶς 10
φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος[22] τοῦ χριστοῦ, ἵνα
κομίσηται[23] ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε
ἀγαθόν, εἴτε κακόν.

Εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πείθομεν, θεῷ δὲ 11
πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν
πεφανερῶσθαι. Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν[24] ὑμῖν, ἀλλὰ 12
ἀφορμὴν[25] διδόντες ὑμῖν καυχήματος[26] ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς

[1] στενάζω, groan (internally), sigh deeply. [2] οἰκητήριον, ου, τό, dwelling, habitation. [3] ἐπενδύομαι, put on over. [4] ἐπιποθέω, long for, strain after. [5] εἴγε, if indeed, seeing that. [6] ἐνδύω, put on, clothe. [7] γυμνός, naked, wearing only under-garments. [8] σκῆνος, ους, τό, tent, lodging. [9] βαρέω, burden, weigh down. [10] ἐκδύω, take off, put off. [11] καταπίνω, drink down, swallow. [12] θνητός, subject to death, mortal. [13] κατεργάζομαι, work out, produce. [14] ἀρραβών, ῶνος, ὁ, earnest, pledge. [15] θαρρέω, of good courage, have confidence. [16] ἐνδημέω, be at home, am at home. [17] ἐκδημέω, leave, be absent. [18] εἶδος, ους, τό, form, sight. [19] εὐδοκέω, think it good, be well pleased with. [20] φιλοτιμέομαι, have as an ambition, aspire to. [21] εὐάρεστος, well-pleasing, acceptable. [22] βῆμα, τος, τό, judgment seat. [23] κομίζω, receive, bring. [24] συνίστημι, commend (transitive), stand with. [25] ἀφορμή, ῆς, ἡ, occasion, opportunity. [26] καύχημα, τος, τό, boasting, ground of boasting.

τοὺς ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ. Εἴτε γὰρ ἐξέστημεν,[1] 13
θεῷ: εἴτε σωφρονοῦμεν,[2] ὑμῖν. Ἡ γὰρ ἀγάπη τοῦ χριστοῦ συνέχει[3] 14
ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ
πάντες ἀπέθανον: καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι[4] 15
ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Ὥστε 16
ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα: εἰ δὲ καὶ ἐγνώκαμεν
κατὰ σάρκα χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Ὥστε εἴ τις ἐν 17
χριστῷ, καινὴ κτίσις:[5] τὰ ἀρχαῖα[6] παρῆλθεν,[7] ἰδού, γέγονεν καινὰ τὰ
πάντα. Τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ, τοῦ καταλλάξαντος[8] ἡμᾶς ἑαυτῷ 18
διὰ Ἰησοῦ χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς:[9] 19
ὡς ὅτι θεὸς ἦν ἐν χριστῷ κόσμον καταλλάσσων[8] ἑαυτῷ, μὴ
λογιζόμενος αὐτοῖς τὰ παραπτώματα[10] αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν
τὸν λόγον τῆς καταλλαγῆς.[9]

Ὑπὲρ χριστοῦ οὖν πρεσβεύομεν,[11] ὡς τοῦ θεοῦ παρακαλοῦντος δι’ 20
ἡμῶν: δεόμεθα[12] ὑπὲρ χριστοῦ, καταλλάγητε[8] τῷ θεῷ. Τὸν γὰρ μὴ 21
γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς
γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

[1] ἐξίστημι, amaze, be amazed. [2] σωφρονέω, be of sound mind, judgment. [3] συνέχω, hold fast, oppress. [4] μηκέτι, no longer. [5] κτίσις, εως, ἡ, creation, creature. [6] ἀρχαῖος, old, ancient. [7] παρέρχομαι, pass by, go by. [8] καταλλάσσω, reconcile. [9] καταλλαγή, ῆς, ἡ, reconciliation. [10] παράπτωμα, τος, τό, trespass, falling away. [11] πρεσβεύω, be an ambassador, am aged. [12] δέομαι, ask, request.

Συνεργοῦντες[1] δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν[2] τὴν χάριν τοῦ θεοῦ **6**
δέξασθαι ὑμᾶς – λέγει γάρ, Καιρῷ δεκτῷ[3] ἐπήκουσά[4] σου, καὶ ἐν 2
ἡμέρᾳ σωτηρίας ἐβοήθησά[5] σοι: ἰδού, νῦν καιρὸς εὐπρόσδεκτος,[6] ἰδού,
νῦν ἡμέρα σωτηρίας – μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν,[7] ἵνα 3
μὴ μωμηθῇ[8] ἡ διακονία: ἀλλ' ἐν παντὶ συνιστῶντες[9] ἑαυτοὺς ὡς 4
θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις,[10] ἐν
στενοχωρίαις,[11] ἐν πληγαῖς,[12] ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις,[13] ἐν 5
κόποις,[14] ἐν ἀγρυπνίαις,[15] ἐν νηστείαις,[16] ἐν ἁγνότητι,[17] ἐν γνώσει,[18] ἐν 6
μακροθυμίᾳ,[19] ἐν χρηστότητι,[20] ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ
ἀνυποκρίτῳ,[21] ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων[22] 7
τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν,[23] διὰ δόξης καὶ ἀτιμίας,[24] 8
διὰ δυσφημίας[25] καὶ εὐφημίας:[26] ὡς πλάνοι[27] καὶ ἀληθεῖς:[28] ὡς 9
ἀγνοούμενοι,[29] καὶ ἐπιγινωσκόμενοι: ὡς ἀποθνῄσκοντες, καὶ ἰδού,
ζῶμεν: ὡς παιδευόμενοι,[30] καὶ μὴ θανατούμενοι:[31] ὡς λυπούμενοι,[32] 10
ἀεὶ[33] δὲ χαίροντες: ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες:[34] ὡς μηδὲν
ἔχοντες, καὶ πάντα κατέχοντες.[35]

[1] συνεργέω, work together. [2] κενός, empty, vain. [3] δεκτός, acceptable, welcome. [4] ἐπακούω, hear, listen to. [5] βοηθέω, come to the aid of. [6] εὐπρόσδεκτος, acceptable, well-received. [7] προσκοπή, ῆς, ἡ, cause for offense. [8] μωμάομαι, find fault with, criticize. [9] συνίστημι, commend (transitive), stand with. [10] ἀνάγκη, ης, ἡ, necessity, distress. [11] στενοχωρία, ας, ἡ, difficulty, distress. [12] πληγή, ῆς, ἡ, blow, wound. [13] ἀκαταστασία, ας, ἡ, distrurbance, disorder. [14] κόπος, ου, ὁ, labor, trouble. [15] ἀγρυπνία, ας, ἡ, sleeplessness, watching. [16] νηστεία, ας, ἡ, fasting, fast. [17] ἁγνότης, ητος, ἡ, purity, chastity. [18] γνῶσις, εως, ἡ, wisdom, knowledge. [19] μακροθυμία, ας, ἡ, long-suffering, patience. [20] χρηστότης, ητος, ἡ, goodness, kindness. [21] ἀνυπόκριτος, sincere, without hypocrisy. [22] ὅπλον, ου, τό, tool, implement. [23] ἀριστερός, left, on the left. [24] ἀτιμία, ας, ἡ, dishonor, disgrace. [25] δυσφημία, ας, ἡ, defamation, slander. [26] εὐφημία, ας, ἡ, good report, commendation. [27] πλάνος, deceiver, misleading. [28] ἀληθής, true, unconcealed. [29] ἀγνοέω, not know, be unaware. [30] παιδεύω, teach, educate. [31] θανατόω, put to death, subdue. [32] λυπέω, grieve, pain. [33] ἀεί, always, ever. [34] πλουτίζω, enrich, make wealthy. [35] κατέχω, hold back, hold fast.

Τὸ στόμα ἡμῶν ἀνέῳγεν πρὸς ὑμᾶς, Κορίνθιοι,[1] ἡ καρδία ἡμῶν 11
πεπλάτυνται.[2] Οὐ στενοχωρεῖσθε[3] ἐν ἡμῖν, στενοχωρεῖσθε[3] δὲ ἐν τοῖς 12
σπλάγχνοις[4] ὑμῶν. Τὴν δὲ αὐτὴν ἀντιμισθίαν[5] – ὡς τέκνοις λέγω – 13
πλατύνθητε[2] καὶ ὑμεῖς.

Μὴ γίνεσθε ἑτεροζυγοῦντες[6] ἀπίστοις:[7] τίς γὰρ μετοχὴ[8] δικαιοσύνῃ καὶ 14
ἀνομίᾳ;[9] Τίς δὲ κοινωνία[10] φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις[11] 15
χριστῷ πρὸς Βελίαρ;[12] Ἢ τίς μερὶς[13] πιστῷ μετὰ ἀπίστου;[7] Τίς δὲ 16
συγκατάθεσις[14] ναῷ θεοῦ μετὰ εἰδώλων;[15] Ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε
ζῶντος, καθὼς εἶπεν ὁ θεὸς ὅτι Ἐνοικήσω[16] ἐν αὐτοῖς, καὶ
ἐμπεριπατήσω:[17] καὶ ἔσομαι αὐτῶν θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός. 17
Διό, Ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε,[18] λέγει κύριος, καὶ
ἀκαθάρτου μὴ ἅπτεσθε: κἀγὼ εἰσδέξομαι[19] ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς 18
πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας,[20] λέγει κύριος
παντοκράτωρ.[21]

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς 7
ἀπὸ παντὸς μολυσμοῦ[22] σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες[23]
ἁγιωσύνην[24] ἐν φόβῳ θεοῦ.

[1] Κορίνθιος, ου, ὁ, Corinthian. [2] πλατύνω, broaden, enlarge. [3] στενοχωρέω, press upon, cramp. [4] σπλάγχνα, ων, τά, bowels, compassion. [5] ἀντιμισθία, ας, ἡ, reward, recompense. [6] ἑτεροζυγέω, be unevenly yoked, be mismated. [7] ἄπιστος, unbelieving, faithless. [8] μετοχή, ῆς, ἡ, sharing, partnership. [9] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [10] κοινωνία, ας, ἡ, fellowship, contribution. [11] συμφώνησις, εως, ἡ, agreement, harmony. [12] Βελιάρ, ὁ, Beliar. [13] μερίς, ίδος, ἡ, part, portion. [14] συγκατάθεσις, εως, ἡ, agreement, union. [15] εἴδωλον, ου, τό, image, idol. [16] ἐνοικέω, dwell in, am settled in. [17] ἐμπεριπατέω, walk about, walk among. [18] ἀφορίζω, separate, set apart. [19] εἰσδέχομαι, receive, welcome. [20] θυγάτηρ, τρος, ἡ, daughter. [21] παντοκράτωρ, ορος, ὁ, ruler of all, Almighty. [22] μολυσμός, οῦ, ὁ, defilement, staining. [23] ἐπιτελέω, complete, perform. [24] ἁγιωσύνη, ης, ἡ, holiness, holy or sanctified state.

Χωρήσατε[1] ἡμᾶς· οὐδένα ἠδικήσαμεν,[2] οὐδένα ἐφθείραμεν,[3] οὐδένα 2
ἐπλεονεκτήσαμεν.[4] Οὐ πρὸς κατάκρισιν[5] λέγω· προείρηκα[6] γάρ, ὅτι 3
ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν[7] καὶ συζῆν.[8] Πολλή 4
μοι παρρησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις[9] ὑπὲρ ὑμῶν·
πεπλήρωμαι τῇ παρακλήσει,[10] ὑπερπερισσεύομαι[11] τῇ χαρᾷ ἐπὶ πάσῃ
τῇ θλίψει ἡμῶν.

Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν[12] οὐδεμίαν ἔσχηκεν ἄνεσιν[13] ἡ 5
σὰρξ ἡμῶν, ἀλλ᾽ ἐν παντὶ θλιβόμενοι·[14] ἔξωθεν[15] μάχαι,[16] ἔσωθεν[17]
φόβοι. Ἀλλ᾽ ὁ παρακαλῶν τοὺς ταπεινοὺς[18] παρεκάλεσεν ἡμᾶς, ὁ 6
θεός, ἐν τῇ παρουσίᾳ[19] Τίτου·[20] οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ[19] αὐτοῦ, 7
ἀλλὰ καὶ ἐν τῇ παρακλήσει[10] ᾗ παρεκλήθη ἐφ᾽ ὑμῖν, ἀναγγέλλων[21]
ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν,[22] τὸν ὑμῶν ὀδυρμόν,[23] τὸν ὑμῶν ζῆλον[24]
ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλλον χαρῆναι. Ὅτι εἰ καὶ ἐλύπησα[25] ὑμᾶς ἐν 8
τῇ ἐπιστολῇ,[26] οὐ μεταμέλομαι,[27] εἰ καὶ μετεμελόμην·[27] βλέπω γὰρ
ὅτι ἡ ἐπιστολὴ[26] ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν[25] ὑμᾶς. Νῦν 9
χαίρω, οὐχ ὅτι ἐλυπήθητε,[25] ἀλλ᾽ ὅτι ἐλυπήθητε[25] εἰς μετάνοιαν·[28]
ἐλυπήθητε[25] γὰρ κατὰ θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε[29] ἐξ ἡμῶν. Ἡ 10
γὰρ κατὰ θεὸν λύπη[30] μετάνοιαν[28] εἰς σωτηρίαν ἀμεταμέλητον[31]

[1] χωρέω, make room for, hold. [2] ἀδικέω, do wrong, harm. [3] φθείρω, destroy, corrupt. [4] πλεονεκτέω, take advantage, take advantage of. [5] κατάκρισις, εως, ἡ, condemnation, act of condemnation. [6] προλέγω, say beforehand, forewarn. [7] συναποθνήσκω, die with, die together with. [8] συζάω, live with, live together with. [9] καύχησις, εως, ἡ, boasting, act of boasting. [10] παράκλησις, εως, ἡ, exhortation, consolation. [11] ὑπερπερισσεύω, abound much more, abound exceedingly. [12] Μακεδονία, ας, ἡ, Macedonia. [13] ἄνεσις, εως, ἡ, loosening, relaxation. [14] θλίβω, press, oppress. [15] ἔξωθεν, from without, outside (gen). [16] μάχη, ης, ἡ, fight, conflict. [17] ἔσωθεν, from within, within. [18] ταπεινός, humble, downcast. [19] παρουσία, ας, ἡ, presence, coming. [20] Τίτος, ου, ὁ, Titus. [21] ἀναγγέλλω, announce, report. [22] ἐπιπόθησις, εως, ἡ, longing, eager longing. [23] ὀδυρμός, οῦ, ὁ, lamentation, mourning. [24] ζῆλος, ου, ὁ, zeal, jealousy. [25] λυπέω, grieve, pain. [26] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [27] μεταμέλομαι, regret, repent. [28] μετάνοια, ας, ἡ, repentance, change of mind. [29] ζημιόω, suffer loss, inflict loss upon. [30] λύπη, ης, ἡ, pain, grief. [31] ἀμεταμέλητος, without regret, not to be repented of.

κατεργάζεται·[1] ἡ δὲ τοῦ κόσμου λύπη[2] θάνατον κατεργάζεται.[1] Ἰδοὺ 11
γάρ, αὐτὸ τοῦτο, τὸ κατὰ θεὸν λυπηθῆναι[3] ὑμᾶς, πόσην[4]
κατειργάσατο[1] ὑμῖν σπουδήν,[5] ἀλλὰ ἀπολογίαν,[6] ἀλλὰ ἀγανάκτησιν,[7]
ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν,[8] ἀλλὰ ζῆλον,[9] ἀλλὰ ἐκδίκησιν.[10] Ἐν
παντὶ συνεστήσατε[11] ἑαυτοὺς ἁγνοὺς[12] εἶναι ἐν τῷ πράγματι.[13] Ἄρα εἰ 12
καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν[14] τοῦ ἀδικήσαντος,[15] οὐδὲ εἵνεκεν[14] τοῦ
ἀδικηθέντος,[15] ἀλλ' εἵνεκεν[14] τοῦ φανερωθῆναι τὴν σπουδὴν[5] ὑμῶν
τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ θεοῦ. Διὰ τοῦτο 13
παρακεκλήμεθα.

Ἐπὶ δὲ τῇ παρακλήσει[16] ὑμῶν περισσοτέρως[17] μᾶλλον ἐχάρημεν ἐπὶ τῇ
χαρᾷ Τίτου,[18] ὅτι ἀναπέπαυται[19] τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν.
Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην·[20] ἀλλ' ὡς 14
πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτως καὶ ἡ καύχησις[21] ἡμῶν ἡ
ἐπὶ Τίτου[18] ἀλήθεια ἐγενήθη. Καὶ τὰ σπλάγχνα[22] αὐτοῦ 15
περισσοτέρως[17] εἰς ὑμᾶς ἐστίν, ἀναμιμνῃσκομένου[23] τὴν πάντων
ὑμῶν ὑπακοήν,[24] ὡς μετὰ φόβου καὶ τρόμου[25] ἐδέξασθε αὐτόν. 16
Χαίρω ὅτι ἐν παντὶ θαρρῶ[26] ἐν ὑμῖν.

[1] κατεργάζομαι, work out, produce. [2] λύπη, ης, ἡ, pain, grief. [3] λυπέω, grieve, pain. [4] πόσος, how many? how great? [5] σπουδή, ῆς, ἡ, haste, diligence. [6] ἀπολογία, ας, ἡ, speech in defense, verbal defense. [7] ἀγανάκτησις, εως, ἡ, indignation. [8] ἐπιπόθησις, εως, ἡ, longing, eager longing. [9] ζῆλος, ου, ὁ, zeal, jealousy. [10] ἐκδίκησις, εως, ἡ, vengeance, vindication. [11] συνίστημι, commend (transitive), stand with. [12] ἁγνός, pure, holy. [13] πρᾶγμα, τος, τό, deed, matter. [14] ἕνεκεν, for the sake of, on account of. [15] ἀδικέω, do wrong, harm. [16] παράκλησις, εως, ἡ, exhortation, consolation. [17] περισσῶς, abundantly, exceedingly. [18] Τίτος, ου, ὁ, Titus. [19] ἀναπαύω, refresh, take rest. [20] καταισχύνω, put to shame, shame. [21] καύχησις, εως, ἡ, boasting, act of boasting. [22] σπλάγχνα, ων, τά, bowels, compassion. [23] ἀναμιμνήσκω, remind, remember. [24] ὑπακοή, ῆς, ἡ, obedience. [25] τρόμος, ου, ὁ, trembling, quaking. [26] θαρρέω, of good courage, have confidence.

8 Γνωρίζομεν[1] δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ θεοῦ τὴν δεδομένην ἐν
ταῖς ἐκκλησίαις τῆς Μακεδονίας·[2] ὅτι ἐν πολλῇ δοκιμῇ[3] θλίψεως ἡ 2
περισσεία[4] τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους[5] πτωχεία[6] αὐτῶν
ἐπερίσσευσεν εἰς τὸν πλοῦτον[7] τῆς ἁπλότητος[8] αὐτῶν. Ὅτι κατὰ 3
δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι,[9] μετὰ πολλῆς 4
παρακλήσεως[10] δεόμενοι[11] ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν[12] τῆς
διακονίας τῆς εἰς τοὺς ἁγίους· καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ᾽ ἑαυτοὺς 5
ἔδωκαν πρῶτον τῷ κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος θεοῦ εἰς τὸ 6
παρακαλέσαι ἡμᾶς Τίτον,[13] ἵνα καθὼς προενήρξατο,[14] οὕτως καὶ
ἐπιτελέσῃ[15] εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. Ἀλλ᾽ ὥσπερ ἐν παντὶ 7
περισσεύετε, πίστει, καὶ λόγῳ, καὶ γνώσει,[16] καὶ πάσῃ σπουδῇ,[17] καὶ
τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε. 8
Οὐ κατ᾽ ἐπιταγὴν[18] λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς[17] καὶ τὸ τῆς
ὑμετέρας[19] ἀγάπης γνήσιον[20] δοκιμάζων.[21] Γινώσκετε γὰρ τὴν χάριν 9
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὅτι δι᾽ ὑμᾶς ἐπτώχευσεν,[22]
πλούσιος[23] ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ[6] πλουτήσητε.[24] Καὶ 10
γνώμην[25] ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει,[26] οἵτινες οὐ
μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε[14] ἀπὸ πέρυσι.[27] 11
Νυνὶ[28] δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε,[15] ὅπως, καθάπερ[29] ἡ προθυμία

[1] γνωρίζω, make known, declare. [2] Μακεδονία, ας, ἡ, Macedonia. [3] δοκιμή, ῆς, ἡ, proof, approval. [4] περισσεία, ας, ἡ, superfluity, surplus. [5] βάθος, ους, τό, depth, deep. [6] πτωχεία, ας, ἡ, poverty, beggary. [7] πλοῦτος, ου, ὁ, wealth, riches. [8] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [9] αὐθαίρετος, of one's own accord. [10] παράκλησις, εως, ἡ, exhortation, consolation. [11] δέομαι, ask, request. [12] κοινωνία, ας, ἡ, fellowship, contribution. [13] Τίτος, ου, ὁ, Titus. [14] προενάρχομαι, begin (beforehand), begin before. [15] ἐπιτελέω, complete, perform. [16] γνῶσις, εως, ἡ, wisdom, knowledge. [17] σπουδή, ῆς, ἡ, haste, diligence. [18] ἐπιταγή, ῆς, ἡ, command, commandment. [19] ὑμέτερος, your. [20] γνήσιος, genuine, true. [21] δοκιμάζω, prove, approve. [22] πτωχεύω, be (extremely) poor, destitute. [23] πλούσιος, rich. [24] πλουτέω, be rich, become rich. [25] γνώμη, ης, ἡ, purpose, opinion. [26] συμφέρω, bring together, it is profitable. [27] πέρυσι, last year. [28] νυνί, now, already. [29] καθάπερ, even as, just as. [30] προθυμία, ας, ἡ, eagerness, readiness.

τοῦ θέλειν, οὕτως καὶ τὸ ἐπιτελέσαι[1] ἐκ τοῦ ἔχειν. Εἰ γὰρ ἡ προθυμία[2] 12
πρόκειται,[3] καθὸ[4] ἐὰν ἔχῃ τις, εὐπρόσδεκτος,[5] οὐ καθὸ[4] οὐκ ἔχει. Οὐ 13
γὰρ ἵνα ἄλλοις ἄνεσις,[6] ὑμῖν δὲ θλίψις: ἀλλ' ἐξ ἰσότητος,[7] ἐν τῷ νῦν
καιρῷ τὸ ὑμῶν περίσσευμα[8] εἰς τὸ ἐκείνων ὑστέρημα,[9] ἵνα καὶ τὸ 14
ἐκείνων περίσσευμα[8] γένηται εἰς τὸ ὑμῶν ὑστέρημα:[9] ὅπως γένηται
ἰσότης,[7] καθὼς γέγραπται, Ὁ τὸ πολύ, οὐκ ἐπλεόνασεν:[10] καὶ ὁ τὸ 15
ὀλίγον, οὐκ ἠλαττόνησεν.[11]

Χάρις δὲ τῷ θεῷ τῷ διδόντι τὴν αὐτὴν σπουδὴν[12] ὑπὲρ ὑμῶν ἐν τῇ 16
καρδίᾳ Τίτου.[13] Ὅτι τὴν μὲν παράκλησιν[14] ἐδέξατο, σπουδαιότερος[15] 17
δὲ ὑπάρχων, αὐθαίρετος[16] ἐξῆλθεν πρὸς ὑμᾶς. Συνεπέμψαμεν[17] δὲ 18
μετ' αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος[18] ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν
τῶν ἐκκλησιῶν: οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονηθεὶς[19] ὑπὸ τῶν 19
ἐκκλησιῶν συνέκδημος[20] ἡμῶν σὺν τῇ χάριτι ταύτῃ τῇ
διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν καὶ
προθυμίαν[2] ἡμῶν: στελλόμενοι[21] τοῦτο, μή τις ἡμᾶς μωμήσηται[22] ἐν 20
τῇ ἁδρότητι[23] ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν: προνοούμενοι[24] 21
καλὰ οὐ μόνον ἐνώπιον κυρίου ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. 22
Συνεπέμψαμεν[17] δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν[25] ἐν
πολλοῖς πολλάκις[26] σπουδαῖον[15] ὄντα, νυνὶ[27] δὲ πολὺ σπουδαιότερον,[15]

[1] ἐπιτελέω, complete, perform. [2] προθυμία, ας, ἡ, eagerness, readiness. [3] πρόκειμαι, be set before, be exhibited. [4] καθό, in so far as, as. [5] εὐπρόσδεκτος, acceptable, well-received. [6] ἄνεσις, εως, ἡ, loosening, relaxation. [7] ἰσότης, ητος, ἡ, equality, fairness. [8] περίσσευμα, τος, τό, superfluity, abundance. [9] ὑστέρημα, τος, τό, that which is lacking, need. [10] πλεονάζω, superabound, make to abound. [11] ἐλαττονέω, have less, have too little. [12] σπουδή, ῆς, ἡ, haste, diligence. [13] Τίτος, ου, ὁ, Titus. [14] παράκλησις, εως, ἡ, exhortation, consolation. [15] σπουδαῖος, diligent, earnest. [16] αὐθαίρετος, of one's own accord. [17] συμπέμπω, send with, send along with. [18] ἔπαινος, ου, ὁ, praise, commendation. [19] χειροτονέω, choose, appoint. [20] συνέκδημος, ου, ὁ, traveling companion, fellow traveler. [21] στέλλω, arrange, take care. [22] μωμάομαι, find fault with, criticize. [23] ἁδρότης, ητος, ἡ, abundance, lavishness. [24] προνοέω, provide for, have regard for. [25] δοκιμάζω, prove, approve. [26] πολλάκις, often, many times. [27] νυνί, now, already.

πεποιθήσει[1] πολλῇ τῇ εἰς ὑμᾶς. Εἴτε ὑπὲρ Τίτου,[2] κοινωνὸς[3] ἐμὸς 23
καὶ εἰς ὑμᾶς συνεργός·[4] εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν,
δόξα χριστοῦ. Τὴν οὖν ἔνδειξιν[5] τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν 24
καυχήσεως[6] ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε[7] εἰς πρόσωπον τῶν
ἐκκλησιῶν.

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν[8] μοί ἐστιν τὸ **9**
γράφειν ὑμῖν· οἶδα γὰρ τὴν προθυμίαν[9] ὑμῶν, ἣν ὑπὲρ ὑμῶν 2
καυχῶμαι Μακεδόσιν,[10] ὅτι Ἀχαΐα[11] παρεσκεύασται[12] ἀπὸ πέρυσι·[13]
καὶ ὁ ἐξ ὑμῶν ζῆλος[14] ἠρέθισεν[15] τοὺς πλείονας. Ἔπεμψα δὲ τοὺς 3
ἀδελφούς, ἵνα μὴ τὸ καύχημα[16] ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ[17] ἐν τῷ
μέρει τούτῳ· ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι[12] ἦτε· μήπως,[18] 4
ἐὰν ἔλθωσιν σὺν ἐμοὶ Μακεδόνες[10] καὶ εὕρωσιν ὑμᾶς
ἀπαρασκευάστους,[19] καταισχυνθῶμεν[20] ἡμεῖς – ἵνα μὴ λέγωμεν
ὑμεῖς – ἐν τῇ ὑποστάσει[21] ταύτῃ τῆς καυχήσεως.[6] Ἀναγκαῖον[22] οὖν 5
ἡγησάμην[23] παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα προέλθωσιν[24] εἰς ὑμᾶς,
καὶ προκαταρτίσωσιν[25] τὴν προκατηγγελμένην[26] εὐλογίαν[27] ὑμῶν,
ταύτην ἑτοίμην[28] εἶναι, οὕτως ὡς εὐλογίαν[27] καὶ μὴ ὡς πλεονεξίαν.[29]

[1] πεποίθησις, εως, ἡ, confidence, trust. [2] Τίτος, ου, ὁ, Titus. [3] κοινωνός, οῦ, ὁ, partner, sharer. [4] συνεργός, οῦ, ὁ, fellow worker. [5] ἔνδειξις, εως, ἡ, proof, sign. [6] καύχησις, εως, ἡ, boasting, act of boasting. [7] ἐνδείκνυμι, show forth, show. [8] περισσός, excessive, abundant. [9] προθυμία, ας, ἡ, eagerness, readiness. [10] Μακεδών, όνος, ὁ, Macedonian. [11] Ἀχαΐα, ας, ἡ, Achaia. [12] παρασκευάζω, prepare, make ready. [13] πέρυσι, last year. [14] ζῆλος, ου, ὁ, zeal, jealousy. [15] ἐρεθίζω, arouse, provoke. [16] καύχημα, τος, τό, boasting, ground of boasting. [17] κενόω, empty, make void. [18] μήπως, lest in any way, lest perhaps. [19] ἀπαρασκεύαστος, not ready, unprepared. [20] καταισχύνω, put to shame, shame. [21] ὑπόστασις, εως, ἡ, substance, confidence. [22] ἀναγκαῖος, necessary, essential. [23] ἡγέομαι, lead, be chief. [24] προέρχομαι, go in front, precede. [25] προκαταρτίζω, arrange beforehand. [26] προκαταγγέλλω, foretell, announce beforehand. [27] εὐλογία, ας, ἡ, blessing, adulation. [28] ἕτοιμος, ready, prepared. [29] πλεονεξία, ας, ἡ, covetousness, avarice.

Τοῦτο δέ, ὁ σπείρων φειδομένως,[1] φειδομένως[1] καὶ θερίσει:[2] καὶ ὁ 6
σπείρων ἐπ᾽ εὐλογίαις,[3] ἐπ᾽ εὐλογίαις[3] καὶ θερίσει.[2] Ἕκαστος καθὼς 7
προαιρεῖται[4] τῇ καρδίᾳ: μὴ ἐκ λύπης[5] ἢ ἐξ ἀνάγκης:[6] ἱλαρὸν[7] γὰρ
δότην[8] ἀγαπᾷ ὁ θεός. Δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς 8
ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν[9] ἔχοντες περισσεύητε
εἰς πᾶν ἔργον ἀγαθόν: καθὼς γέγραπται, Ἐσκόρπισεν,[10] ἔδωκεν τοῖς 9
πένησιν:[11] ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Ὁ δὲ ἐπιχορηγῶν 10
σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν[13] χορηγήσαι,[14] καὶ
πληθύναι[15] τὸν σπόρον[16] ὑμῶν, καὶ αὐξήσαι[17] τὰ γενήματα[18] τῆς
δικαιοσύνης ὑμῶν: ἐν παντὶ πλουτιζόμενοι[19] εἰς πᾶσαν ἁπλότητα,[20] 11
ἥτις κατεργάζεται[21] δι᾽ ἡμῶν εὐχαριστίαν[22] τῷ θεῷ. Ὅτι ἡ διακονία 12
τῆς λειτουργίας[23] ταύτης οὐ μόνον ἐστὶν προσαναπληροῦσα[24] τὰ
ὑστερήματα[25] τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν
εὐχαριστιῶν[22] τῷ θεῷ: διὰ τῆς δοκιμῆς[26] τῆς διακονίας ταύτης 13
δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ[27] τῆς ὁμολογίας[28] ὑμῶν εἰς τὸ
εὐαγγέλιον τοῦ χριστοῦ, καὶ ἁπλότητι[20] τῆς κοινωνίας[29] εἰς αὐτοὺς
καὶ εἰς πάντας: καὶ αὐτῶν δεήσει[30] ὑπὲρ ὑμῶν ἐπιποθούντων[31] ὑμᾶς 14
διὰ τὴν ὑπερβάλλουσαν[32] χάριν τοῦ θεοῦ ἐφ᾽ ὑμῖν. Χάρις δὲ τῷ θεῷ 15
ἐπὶ τῇ ἀνεκδιηγήτῳ[33] αὐτοῦ δωρεᾷ.[34]

[1] φειδομένως, sparingly. [2] θερίζω, reap, gather. [3] εὐλογία, ας, ἡ, blessing, adulation. [4] προαιρέω, propose, purpose. [5] λύπη, ης, ἡ, pain, grief. [6] ἀνάγκη, ης, ἡ, necessity, distress. [7] ἱλαρός, cheerful, glad. [8] δότης, ου, ὁ, giver. [9] αὐτάρκεια, ας, ἡ, sufficiency, contentment. [10] σκορπίζω, scatter, disperse. [11] πένης, ητος, ὁ, poor, needy. [12] ἐπιχορηγέω, supply, provide. [13] βρῶσις, εως, ἡ, eating, food. [14] χορηγέω, provide, supply in abundance. [15] πληθύνω, multiply, increase. [16] σπόρος, ου, ὁ, seed (sown), seed for sowing. [17] αὐξάνω, cause to grow, increase. [18] γέννημα, τος, τό, offspring, child. [19] πλουτίζω, enrich, make wealthy. [20] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [21] κατεργάζομαι, work out, produce. [22] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [23] λειτουργία, ας, ἡ, service, ministry. [24] προσαναπληρόω, supply. [25] ὑστέρημα, τος, τό, that which is lacking, need. [26] δοκιμή, ῆς, ἡ, proof, approval. [27] ὑποταγή, ῆς, ἡ, subjection, obedience. [28] ὁμολογία, ας, ἡ, confession, profession. [29] κοινωνία, ας, ἡ, fellowship, contribution. [30] δέησις, εως, ἡ, entreaty, prayer. [31] ἐπιποθέω, long for, strain after. [32] ὑπερβάλλω, go beyond, surpass. [33] ἀνεκδιήγητος, indescribable. [34] δωρεά, ᾶς, ἡ, gift, free gift.

Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος[1] καὶ 10
ἐπιεικείας[2] τοῦ χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς[3] ἐν ὑμῖν,
ἀπὼν[4] δὲ θαρρῶ[5] εἰς ὑμᾶς: δέομαι[6] δέ, τὸ μὴ παρὼν[7] θαρρῆσαι[5] τῇ 2
πεποιθήσει[8] ᾗ λογίζομαι τολμῆσαι[9] ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς
ὡς κατὰ σάρκα περιπατοῦντας. Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ 3
κατὰ σάρκα στρατευόμεθα[10] – τὰ γὰρ ὅπλα[11] τῆς στρατείας[12] ἡμῶν 4
οὐ σαρκικά,[13] ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν[14] ὀχυρωμάτων[15]
– λογισμοὺς[16] καθαιροῦντες[17] καὶ πᾶν ὕψωμα[18] ἐπαιρόμενον[19] κατὰ 5
τῆς γνώσεως[20] τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες[21] πᾶν νόημα[22] εἰς τὴν
ὑπακοὴν[23] τοῦ χριστοῦ, καὶ ἐν ἑτοίμῳ[24] ἔχοντες ἐκδικῆσαι[25] πᾶσαν 6
παρακοήν,[26] ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.[23] Τὰ κατὰ πρόσωπον 7
βλέπετε; Εἴ τις πέποιθεν ἑαυτῷ χριστοῦ εἶναι, τοῦτο λογιζέσθω
πάλιν ἀφ᾽ ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς χριστοῦ, οὕτως[27] καὶ ἡμεῖς
χριστοῦ. Ἐάν τε γὰρ καὶ περισσότερόν[28] τι καυχήσωμαι περὶ τῆς 8
ἐξουσίας ἡμῶν – ἧς ἔδωκεν ὁ κύριος ἡμῖν εἰς οἰκοδομήν,[29] καὶ οὐκ εἰς
καθαίρεσιν[14] ὑμῶν – οὐκ αἰσχυνθήσομαι:[30] ἵνα μὴ δόξω ὡς ἂν 9
ἐκφοβεῖν[31] ὑμᾶς διὰ τῶν ἐπιστολῶν.[32] Ὅτι, Αἱ μὲν ἐπιστολαί,[32] 10
φησίν, βαρεῖαι[33] καὶ ἰσχυραί:[34] ἡ δὲ παρουσία[35] τοῦ σώματος ἀσθενής,
καὶ ὁ λόγος ἐξουθενημένος.[37] Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί[38] 11

[1] πρᾳΰτης, mildness, gentleness. [2] ἐπιείκεια, ας, ἡ, kindness, gentleness. [3] ταπεινός, humble, downcast. [4] ἄπειμι, go away, depart. [5] θαρρέω, of good courage, have confidence. [6] δέομαι, ask, request. [7] πάρειμι, be present, have arrived. [8] πεποίθησις, εως, ἡ, confidence, trust. [9] τολμάω, dare, endure. [10] στρατεύομαι, make war, hence to serve as a soldier. [11] ὅπλον, ου, τό, tool, implement. [12] στρατεία, ας, ἡ, campaign, warfare. [13] σαρκικός, fleshly, carnal. [14] καθαίρεσις, εως, ἡ, tearing down, destruction. [15] ὀχύρωμα, τος, τό, fortress, strong defense. [16] λογισμός, οῦ, ὁ, reasoning, reflection. [17] καθαιρέω, take down, pull down. [18] ὕψωμα, τος, τό, height, lofty thing. [19] ἐπαίρω, lift up, raise. [20] γνῶσις, εως, ἡ, wisdom, knowledge. [21] αἰχμαλωτίζω, take or lead captive, take captive. [22] νόημα, τος, τό, thought, mind. [23] ὑπακοή, ῆς, ἡ, obedience. [24] ἕτοιμος, ready, prepared. [25] ἐκδικέω, vindicate, avenge. [26] παρακοή, ῆς, ἡ, disobedience. [27] οὕτως, thus, so. [28] περισσός, excessive, abundant. [29] οἰκοδομή, ῆς, ἡ, building, edification. [30] αἰσχύνομαι, dishonor, put to shame. [31] ἐκφοβέω, frighten, terrify. [32] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [33] βαρύς, heavy, burdensome. [34] ἰσχυρός, strong, mighty. [35] παρουσία, ας, ἡ, presence, coming. [36] ἀσθενής, weak, infirm. [37] ἐξουθενέω, despise, ignore. [38] οἷος, such as, of what kind.

ἐσμεν τῷ λόγῳ δι᾽ ἐπιστολῶν[1] ἀπόντες,[2] τοιοῦτοι καὶ παρόντες[3] τῷ
ἔργῳ. Οὐ γὰρ τολμῶμεν[4] ἐγκρῖναι[5] ἢ συγκρῖναι[6] ἑαυτούς τισιν τῶν 12
ἑαυτοὺς συνιστανόντων:[7] ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες,[8]
καὶ συγκρίνοντες[6] ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν.[9] Ἡμεῖς δὲ οὐχὶ εἰς 13
τὰ ἄμετρα[10] καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον[11] τοῦ κανόνος[12] οὗ
ἐμέρισεν[13] ἡμῖν ὁ θεός, μέτρου,[11] ἐφικέσθαι[14] ἄχρι καὶ ὑμῶν. Οὐ γὰρ 14
ὡς μὴ ἐφικνούμενοι[14] εἰς ὑμᾶς ὑπερεκτείνομεν[15] ἑαυτούς: ἄχρι γὰρ
καὶ ὑμῶν ἐφθάσαμεν[16] ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ: οὐκ εἰς τὰ 15
ἄμετρα[10] καυχώμενοι, ἐν ἀλλοτρίοις[17] κόποις,[18] ἐλπίδα δὲ ἔχοντες,
αὐξανομένης[19] τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι[20] κατὰ τὸν
κανόνα[12] ἡμῶν εἰς περισσείαν,[21] εἰς τὰ ὑπερέκεινα[22] ὑμῶν 16
εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ[17] κανόνι[12] εἰς τὰ ἕτοιμα[23]
καυχήσασθαι. Ὁ δὲ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. Οὐ γὰρ ὁ 17
ἑαυτὸν συνιστῶν,[7] ἐκεῖνός ἐστιν δόκιμος,[24] ἀλλ᾽ ὃν ὁ κύριος
συνίστησιν.[7]

Ὄφελον[25] ἀνείχεσθέ[26] μου μικρὸν τῇ ἀφροσύνῃ:[27] ἀλλὰ καὶ ἀνέχεσθέ[26] **11**
μου. Ζηλῶ[28] γὰρ ὑμᾶς θεοῦ ζήλῳ:[29] ἡρμοσάμην[30] γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ 2
παρθένον[31] ἁγνὴν[32] παραστῆσαι τῷ χριστῷ. Φοβοῦμαι δὲ μήπως[33] ὡς 3
ὁ ὄφις[34] Εὔαν[35] ἐξηπάτησεν[36] ἐν τῇ πανουργίᾳ[37] αὐτοῦ, οὕτως[38] φθαρῇ

[1] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [2] ἄπειμι, go away, depart. [3] πάρειμι, be present, have arrived. [4] τολμάω, dare, endure. [5] ἐγκρίνω, class, classify. [6] συγκρίνω, combine, compare. [7] συνίστημι, commend (transitive), stand with. [8] μετρέω, measure, estimate. [9] συνίημι, understand, consider. [10] ἄμετρος, immeasurable, not measurable. [11] μέτρον, ου, τό, measure, measuring rod. [12] κανών, όνος, ὁ, rule, standard. [13] μερίζω, divide, part. [14] ἐφικνέομαι, reach, come to. [15] ὑπερεκτείνω, stretch out beyond, overextent. [16] φθάνω, come before another, anticipate. [17] ἀλλότριος, strange, foreign. [18] κόπος, ου, ὁ, labor, trouble. [19] αὐξάνω, cause to grow, increase. [20] μεγαλύνω, make or declare great, enlarge. [21] περισσεία, ας, ἡ, superfluity, surplus. [22] ὑπερέκεινα, beyond. [23] ἕτοιμος, ready, prepared. [24] δόκιμος, tested, approved. [25] ὄφελον, would that (used to express a fruitless wish) [26] ἀνέχομαι, endure, bear with. [27] ἀφροσύνη, ης, ἡ, foolishness, want of sense. [28] ζηλόω, be zealous, am jealous. [29] ζῆλος, ου, ὁ, zeal, jealousy. [30] ἁρμόζω, fit, join. [31] παρθένος, ου, ἡ, virgin. [32] ἁγνός, pure, holy. [33] μήπως, lest in any way, lest perhaps. [34] ὄφις, εως, ὁ, snake, serpent. [35] Εὔα, ας, ἡ, Eve. [36] ἐξαπατάω, seduce wholly, deceive. [37] πανουργία, ας, ἡ, cleverness, craftiness. Trickery. [38] οὕτως, thus, so. [39] φθείρω, destroy, corrupt.

τὰ νοήματα[1] ὑμῶν ἀπὸ τῆς ἁπλότητος[2] τῆς εἰς τὸν χριστόν. Εἰ μὲν 4
γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ
πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ
ἐδέξασθε, καλῶς ἠνείχεσθε.[3] Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι[4] τῶν 5
ὑπὲρ λίαν[5] ἀποστόλων. Εἰ δὲ καὶ ἰδιώτης[6] τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ 6
γνώσει·[7] ἀλλ᾽ ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. Ἢ ἁμαρτίαν 7
ἐποίησα ἐμαυτὸν ταπεινῶν[8] ἵνα ὑμεῖς ὑψωθῆτε,[9] ὅτι δωρεὰν[10] τὸ τοῦ
θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; Ἄλλας ἐκκλησίας ἐσύλησα,[11] 8
λαβὼν ὀψώνιον[12] πρὸς τὴν ὑμῶν διακονίαν· καὶ παρὼν[13] πρὸς ὑμᾶς 9
καὶ ὑστερηθείς,[4] οὐ κατενάρκησα[14] οὐδενός· τὸ γὰρ ὑστέρημά[15] μου
προσανεπλήρωσαν[16] οἱ ἀδελφοί, ἐλθόντες ἀπὸ Μακεδονίας·[17] καὶ ἐν
παντὶ ἀβαρῆ[18] ὑμῖν ἐμαυτὸν ἐτήρησα καὶ τηρήσω. Ἔστιν ἀλήθεια 10
χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησις[19] αὕτη οὐ φραγήσεται[20] εἰς ἐμὲ ἐν τοῖς
κλίμασιν[21] τῆς Ἀχαΐας.[22] Διὰ τί; Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ θεὸς οἶδεν. 11
Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω[23] τὴν ἀφορμὴν[24] τῶν θελόντων 12
ἀφορμήν,[24] ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν καθὼς καὶ ἡμεῖς. Οἱ γὰρ 13
τοιοῦτοι ψευδαπόστολοι,[25] ἐργάται[26] δόλιοι,[27] μετασχηματιζόμενοι[28]
εἰς ἀποστόλους χριστοῦ. Καὶ οὐ θαυμαστόν·[29] αὐτὸς γὰρ ὁ Σατανᾶς 14
μετασχηματίζεται[28] εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν εἰ καὶ οἱ 15

[1] νόημα, τος, τό, thought, mind. [2] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [3] ἀνέχομαι, endure, bear with. [4] ὑστερέω, lack, need. [5] λίαν, greatly, very. [6] ἰδιώτης, ου, ὁ, unskilled or ungifted person, amateur. [7] γνῶσις, εως, ἡ, wisdom, knowledge. [8] ταπεινόω, humble, humiliate. [9] ὑψόω, lift up, exalt. [10] δωρεάν, without cost, without cause. [11] συλάω, rob, plunder. [12] ὀψώνιον, ου, τό, compensation, wages. [13] πάρειμι, be present, have arrived. [14] καταναρκάω, burden, encumber. [15] ὑστέρημα, τος, τό, that which is lacking, need. [16] προσαναπληρόω, supply. [17] Μακεδονία, ας, ἡ, Macedonia. [18] ἀβαρής, not burdensome. [19] καύχησις, εως, ἡ, boasting, act of boasting. [20] φράσσω, stop, shut. [21] κλίμα, τος, τό, region, territory. [22] Ἀχαΐα, ας, ἡ, Achaia. [23] ἐκκόπτω, cut out, cut off. [24] ἀφορμή, ῆς, ἡ, occasion, opportunity. [25] ψευδαπόστολος, ου, ὁ, false apostle. [26] ἐργάτης, ου, ὁ, workman, laborer. [27] δόλιος, deceitful, treacherous. [28] μετασχηματίζω, transform, disguise. [29] θαυμαστός, wonderful, marvelous.

διάκονοι αὐτοῦ μετασχηματίζονται[1] ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ
τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα[2] εἶναι: εἰ δὲ μήγε,[3] κἂν[4] ὡς ἄφρονα[2] 16
δέξασθέ με, ἵνα κἀγὼ μικρόν τι καυχήσωμαι. Ὃ λαλῶ, οὐ λαλῶ 17
κατὰ κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ,[5] ἐν ταύτῃ τῇ ὑποστάσει[6] τῆς
καυχήσεως.[7] Ἐπεὶ[8] πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ 18
καυχήσομαι. Ἡδέως[9] γὰρ ἀνέχεσθε[10] τῶν ἀφρόνων,[2] φρόνιμοι[11] ὄντες. 19
Ἀνέχεσθε[10] γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ,[12] εἴ τις κατεσθίει,[13] εἴ τις 20
λαμβάνει, εἴ τις ἐπαίρεται,[14] εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει.[15] Κατὰ 21
ἀτιμίαν[16] λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν: ἐν ᾧ δ' ἄν τις τολμᾷ[17] – ἐν
ἀφροσύνῃ[5] λέγω – τολμῶ[17] κἀγώ. Ἑβραῖοί[18] εἰσιν; Κἀγώ. 22
Ἰσραηλῖταί[19] εἰσιν; Κἀγώ. Σπέρμα Ἀβραάμ εἰσιν; Κἀγώ. Διάκονοι 23
χριστοῦ εἰσιν;– παραφρονῶν[20] λαλῶ – Ὑπὲρ ἐγώ. Ἐν κόποις[21]
περισσοτέρως,[22] ἐν πληγαῖς[23] ὑπερβαλλόντως,[24] ἐν φυλακαῖς
περισσοτέρως,[22] ἐν θανάτοις πολλάκις,[25] ὑπὸ Ἰουδαίων πεντάκις[26] 24
τεσσαράκοντα[27] παρὰ μίαν ἔλαβον. Τρὶς[28] ἐραβδίσθην,[29] ἅπαξ[30] 25
ἐλιθάσθην,[31] τρὶς[28] ἐναυάγησα,[32] νυχθήμερον[33] ἐν τῷ βυθῷ[34] πεποίηκα:
ὁδοιπορίαις[35] πολλάκις,[25] κινδύνοις[36] ποταμῶν,[37] κινδύνοις[36] λῃστῶν,[38] 26

[1] μετασχηματίζω, transform, disguise. [2] ἄφρων, foolish, senseless. [3] μήγε, otherwise (used in the phrase εἰ δὲ μήγε). [4] κἄν, and if, even if. [5] ἀφροσύνη, ης, ἡ, foolishness, want of sense. [6] ὑπόστασις, εως, ἡ, substance, confidence. [7] καύχησις, εως, ἡ, boasting, act of boasting. [8] ἐπεί, when, since. [9] ἡδέως, sweetly, gladly. [10] ἀνέχομαι, endure, bear with. [11] φρόνιμος, prudent, wise. [12] καταδουλόω, enslave. [13] κατεσθίω, eat up, devour. [14] ἐπαίρω, lift up, raise. [15] δέρω, beat, flay. [16] ἀτιμία, ας, ἡ, dishonor, disgrace. [17] τολμάω, dare, endure. [18] Ἑβραῖος, ου, ὁ, Hebrew. [19] Ἰσραηλίτης, ου, ὁ, Israelite. [20] παραφρονέω, be beside oneself, be insane. [21] κόπος, ου, ὁ, labor, trouble. [22] περισσῶς, abundantly, exceedingly. [23] πληγή, ῆς, ἡ, blow, wound. [24] ὑπερβαλλόντως, above measure, much more. [25] πολλάκις, often, many times. [26] πεντάκις, five times. [27] τεσσαράκοντα, forty, 40. [28] τρίς, thrice, three times. [29] ῥαβδίζω, beat with a rod, beat with rods. [30] ἅπαξ, once, once for all. [31] λιθάζω, throw stones, stone. [32] ναυαγέω, suffer shipwreck, am shipwrecked. [33] νυχθήμερον, ου, τό, day and a night, twenty-four hours. [34] βυθός, οῦ, ὁ, sea, deep water. [35] ὁδοιπορία, ας, ἡ, walking, journey. [36] κίνδυνος, ου, ὁ, danger, peril. [37] ποταμός, οῦ, ὁ, river, stream. [38] λῃστής, οῦ, ὁ, robber, brigand.

κινδύνοις[1] ἐκ γένους,[2] κινδύνοις[1] ἐξ ἐθνῶν, κινδύνοις[1] ἐν πόλει,
κινδύνοις[1] ἐν ἐρημίᾳ,[3] κινδύνοις[1] ἐν θαλάσσῃ, κινδύνοις[1] ἐν
ψευδαδέλφοις·[4] ἐν κόπῳ[5] καὶ μόχθῳ,[6] ἐν ἀγρυπνίαις[7] πολλάκις,[8] ἐν 27
λιμῷ[9] καὶ δίψει,[10] ἐν νηστείαις[11] πολλάκις,[8] ἐν ψύχει[12] καὶ γυμνότητι.[13]
Χωρὶς τῶν παρεκτός,[14] ἡ ἐπισύστασίς[15] μου ἡ καθ' ἡμέραν, ἡ 28
μέριμνα[16] πασῶν τῶν ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς 29
σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;[17] Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς 30
ἀσθενείας[18] μου καυχήσομαι. Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου Ἰησοῦ 31
χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς[19] εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.[20] 32
Ἐν Δαμασκῷ[21] ὁ ἐθνάρχης[22] Ἀρέτα[23] τοῦ βασιλέως ἐφρούρει[24] τὴν
Δαμασκηνῶν[25] πόλιν, πιάσαι[26] με θέλων· καὶ διὰ θυρίδος[27] ἐν 33
σαργάνῃ[28] ἐχαλάσθην[29] διὰ τοῦ τείχους[30] καὶ ἐξέφυγον[31] τὰς χεῖρας
αὐτοῦ.

Καυχᾶσθαι δὴ[32] οὐ συμφέρει[33] μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας[34] καὶ **12**
ἀποκαλύψεις[35] κυρίου. Οἶδα ἄνθρωπον ἐν χριστῷ πρὸ ἐτῶν 2
δεκατεσσάρων[36] – εἴτε ἐν σώματι οὐκ οἶδα· εἴτε ἐκτὸς[37] τοῦ σώματος
οὐκ οἶδα· ὁ θεὸς οἶδεν – ἁρπαγέντα[38] τὸν τοιοῦτον ἕως τρίτου
οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον – εἴτε ἐν σώματι, εἴτε 3

[1] κίνδυνος, ου, ὁ, danger, peril. [2] γένος, ους, τό, race, kind. [3] ἐρημία, ας, ἡ, wilderness, desert. [4] ψευδάδελφος, ου, ὁ, false brother. [5] κόπος, ου, ὁ, labor, trouble. [6] μόχθος, ου, ὁ, toil, hardship. [7] ἀγρυπνία, ας, ἡ, sleeplessness, watching. [8] πολλάκις, often, many times. [9] λιμός, οῦ, ὁ, hunger, famine. [10] δίψος, ους, τό, thirst. [11] νηστεία, ας, ἡ, fasting, fast. [12] ψῦχος, ους, τό, cold. [13] γυμνότης, ητος, ἡ, nakedness, exposure. [14] παρεκτός, except for, apart from. [15] ἐπισύστασις, εως, ἡ, gathering, concourse. [16] μέριμνα, ης, ἡ, care, anxiety. [17] πυρόω, burn, am purified by fire. [18] ἀσθένεια, ας, ἡ, weakness, sickness. [19] εὐλογητός, well spoken of, blessed. [20] ψεύδομαι, lie. [21] Δαμασκός, οῦ, ἡ, Damascus. [22] ἐθνάρχης, ου, ὁ, ethnarch (provincial governor). [23] Ἀρέτας, α, ὁ, Aretas. [24] φρουρέω, guard, protect. [25] Δαμασκηνός, from Damascus, inhabitant of Damascus. [26] πιάζω, take, lay hold of. [27] θυρίς, ίδος, ἡ, window, windowsill. [28] σαργάνη, ης, ἡ, basket. [29] χαλάω, slacken, let down. [30] τεῖχος, ους, τό, wall. [31] ἐκφεύγω, flee away, flee out. [32] δή, also, indeed. [33] συμφέρω, bring together, it is profitable. [34] ὀπτασία, ας, ἡ, vision, supernatural appearance. [35] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [36] δεκατέσσαρες, fourteen, 14. [37] ἐκτός, aside from, besides. [38] ἁρπάζω, seize, snatch.

ἐκτὸς[1] τοῦ σώματος, οὐκ οἶδα: ὁ θεὸς οἶδεν – ὅτι ἡρπάγη[2] εἰς τὸν 4
παράδεισον,[3] καὶ ἤκουσεν ἄρρητα[4] ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ
λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι: ὑπὲρ δὲ ἐμαυτοῦ οὐ 5
καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις[5] μου: ἐὰν γὰρ θελήσω 6
καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων:[6] ἀλήθειαν γὰρ ἐρῶ: φείδομαι[7] δέ,
μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ 7
τῇ ὑπερβολῇ[8] τῶν ἀποκαλύψεων[9] ἵνα μὴ ὑπεραίρωμαι,[10] ἐδόθη μοι
σκόλοψ[11] τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ,[12] ἵνα μὴ
ὑπεραίρωμαι.[10] Ὑπὲρ τούτου τρὶς[13] τὸν κύριον παρεκάλεσα ἵνα 8
ἀποστῇ[14] ἀπ᾽ ἐμοῦ. Καὶ εἴρηκέν μοι, Ἀρκεῖ[15] σοι ἡ χάρις μου: ἡ γὰρ 9
δύναμίς μου ἐν ἀσθενείᾳ[5] τελειοῦται.[16] Ἥδιστα[17] οὖν μᾶλλον
καυχήσομαι ἐν ταῖς ἀσθενείαις[5] μου, ἵνα ἐπισκηνώσῃ[18] ἐπ᾽ ἐμὲ ἡ
δύναμις τοῦ χριστοῦ. Διὸ εὐδοκῶ[19] ἐν ἀσθενείαις,[5] ἐν ὕβρεσιν,[20] ἐν 10
ἀνάγκαις,[21] ἐν διωγμοῖς,[22] ἐν στενοχωρίαις,[23] ὑπὲρ χριστοῦ: ὅταν γὰρ
ἀσθενῶ, τότε δυνατός εἰμι.

Γέγονα ἄφρων[6] καυχώμενος: ὑμεῖς με ἠναγκάσατε:[24] ἐγὼ γὰρ ὤφειλον 11
ὑφ᾽ ὑμῶν συνίστασθαι:[25] οὐδὲν γὰρ ὑστέρησα[26] τῶν ὑπὲρ λίαν[27]
ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. Τὰ μὲν σημεῖα τοῦ ἀποστόλου 12
κατειργάσθη[28] ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασιν[29]

[1] ἐκτός, aside from, besides. [2] ἁρπάζω, seize, snatch. [3] παράδεισος, ου, ὁ, paradise, Paradise. [4] ἄρρητος, inexpressible, unspeakable. [5] ἀσθένεια, ας, ἡ, weakness, sickness. [6] ἄφρων, foolish, senseless. [7] φείδομαι, spare, abstain. [8] ὑπερβολή, ῆς, ἡ, excess, superiority. [9] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [10] ὑπεραίρω, raise beyond, uplift. [11] σκόλοψ, οπος, ὁ, thorn, splinter. [12] κολαφίζω, strike with the fist, treat roughly. [13] τρίς, thrice, three times. [14] ἀφίστημι, withdraw, depart. [15] ἀρκέω, assist, suffice. [16] τελειόω, fill, fulfill. [17] ἥδιστα, most gladly, pleasantly. [18] ἐπισκηνόω, dwell, set up a tent upon. [19] εὐδοκέω, think it good, be well pleased with. [20] ὕβρις, εως, ἡ, damage, insult. [21] ἀνάγκη, ης, ἡ, necessity, distress. [22] διωγμός, οῦ, ὁ, persecution. [23] στενοχωρία, ας, ἡ, difficulty, distress. [24] ἀναγκάζω, force, compel. [25] συνίστημι, commend (transitive), stand with. [26] ὑστερέω, lack, need. [27] λίαν, greatly, very. [28] κατεργάζομαι, work out, produce. [29] τέρας, ατος, τό, wonder, portent.

καὶ δυνάμεσιν. Τί γάρ ἐστιν ὃ ἡττήθητε[1] ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, 13
εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα[2] ὑμῶν; Χαρίσασθέ[3] μοι τὴν
ἀδικίαν[4] ταύτην.

Ἰδού, τρίτον ἑτοίμως[5] ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω[2] 14
ὑμῶν: οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλὰ ὑμᾶς: οὐ γὰρ ὀφείλει τὰ τέκνα
τοῖς γονεῦσιν[6] θησαυρίζειν,[7] ἀλλ' οἱ γονεῖς[6] τοῖς τέκνοις. Ἐγὼ δὲ 15
ἥδιστα[8] δαπανήσω[9] καὶ ἐκδαπανηθήσομαι[10] ὑπὲρ τῶν ψυχῶν ὑμῶν,
εἰ καὶ περισσοτέρως[11] ὑμᾶς ἀγαπῶν, ἧττον[12] ἀγαπῶμαι. Ἔστω δέ, 16
ἐγὼ οὐ κατεβάρησα[13] ὑμᾶς: ἀλλ' ὑπάρχων πανοῦργος,[14] δόλῳ[15] ὑμᾶς
ἔλαβον. Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα 17
ὑμᾶς; Παρεκάλεσα Τίτον,[17] καὶ συναπέστειλα[18] τὸν ἀδελφόν: μήτι[19] 18
ἐπλεονέκτησεν[16] ὑμᾶς Τίτος;[17] Οὐ τῷ αὐτῷ πνεύματι
περιεπατήσαμεν; Οὐ τοῖς αὐτοῖς ἴχνεσιν;[20]

Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα;[21] Κατενώπιον[22] τοῦ θεοῦ ἐν 19
χριστῷ λαλοῦμεν: τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.
Φοβοῦμαι γάρ, μήπως[24] ἐλθὼν οὐχ οἵους[25] θέλω εὕρω ὑμᾶς, κἀγὼ 20
εὑρεθῶ ὑμῖν οἷον[25] οὐ θέλετε: μήπως[24] ἔρεις,[26] ζῆλοι,[27] θυμοί,[28] ἐριθεῖαι,
καταλαλιαί,[30] ψιθυρισμοί,[31] φυσιώσεις,[32] ἀκαταστασίαι:[33] μὴ πάλιν 21

[1] ἡττάομαι, be overcome or defeated, am defeated. [2] καταναρκάω, burden, encumber. [3] χαρίζομαι, give freely, forgive. [4] ἀδικία, ας, ἡ, unrighteousness. [5] ἑτοίμως, readily. [6] γονεύς, έως, ὁ, parent. [7] θησαυρίζω, lay up, store up. [8] ἥδιστα, most gladly, pleasantly. [9] δαπανάω, spend, spend freely. [10] ἐκδαπανάω, spend completely. [11] περισσῶς, abundantly, exceedingly. [12] ἥττων, lesser, inferior. [13] καταβαρέω, burden, weigh down. [14] πανοῦργος, clever, crafty. [15] δόλος, ου, ὁ, guile, deceit. [16] πλεονεκτέω, take advantage, take advantage of. [17] Τίτος, ου, ὁ, Titus. [18] συναποστέλλω, send with, send together with. [19] μήτι, interrogative particle expecting a negative answer. [20] ἴχνος, ους, τό, track, footprint. [21] ἀπολογέομαι, defend one's self, give a defense. [22] κατενώπιον, before, in the presence of (gen). [23] οἰκοδομή, ῆς, ἡ, building, edification. [24] μήπως, lest in any way, lest perhaps. [25] οἷος, such as, of what kind. [26] ἔρις, ιδος, ἡ, strife, contention. [27] ζῆλος, ου, ὁ, zeal, jealousy. [28] θυμός, ου, ὁ, wrath, outburst of passion. [29] ἐριθεία, ας, ἡ, rivalry, ambition. [30] καταλαλιά, ᾶς, ἡ, evil speech, slander. [31] ψιθυρισμός, οῦ, ὁ, gossiping, secret slandering. [32] φυσίωσις, εως, ἡ, puffing up, arrogance. [33] ἀκαταστασία, ας, ἡ, distrurbance, disorder.

ἐλθόντα με ταπεινώσει[1] ὁ θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω[2]
πολλοὺς τῶν προημαρτηκότων,[3] καὶ μὴ μετανοησάντων ἐπὶ τῇ
ἀκαθαρσίᾳ[4] καὶ πορνείᾳ[5] καὶ ἀσελγείᾳ[6] ᾗ ἔπραξαν.

Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. Ἐπὶ στόματος δύο μαρτύρων καὶ **13**
τριῶν σταθήσεται πᾶν ῥῆμα. Προείρηκα[7] καὶ προλέγω,[7] ὡς παρὼν[8] 2
τὸ δεύτερον, καὶ ἀπὼν[9] νῦν γράφω τοῖς προημαρτηκόσιν[3] καὶ τοῖς
λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι:[10] ἐπεὶ[11] 3
δοκιμὴν[12] ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ
ἀσθενεῖ, ἀλλὰ δυνατεῖ[13] ἐν ὑμῖν: καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας,[14] 4
ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ. Καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ,
ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς. Ἑαυτοὺς 5
πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε.[15] Ἢ οὐκ
ἐπιγινώσκετε ἑαυτούς, ὅτι Ἰησοῦς χριστὸς ἐν ὑμῖν ἐστίν; Εἰ μήτι[16]
ἀδόκιμοί[17] ἐστε. Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν 6
ἀδόκιμοι.[17] Εὔχομαι[18] δὲ πρὸς τὸν θεόν, μὴ ποιῆσαι ὑμᾶς κακὸν 7
μηδέν, οὐχ ἵνα ἡμεῖς δόκιμοι[19] φανῶμεν, ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν
ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι[17] ὦμεν. Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς 8
ἀληθείας, ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας. Χαίρομεν γὰρ ὅταν ἡμεῖς 9
ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε: τοῦτο δὲ καὶ εὐχόμεθα,[18] τὴν ὑμῶν

[1] ταπεινόω, humble, humiliate. [2] πενθέω, mourn, lament. [3] προαμαρτάνω, sin beforehand, sin previously. [4] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [5] πορνεία, ας, ἡ, fornication, idolatry. [6] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [7] προλέγω, say beforehand, forewarn. [8] πάρειμι, be present, have arrived. [9] ἄπειμι, go away, depart. [10] φείδομαι, spare, abstain. [11] ἐπεί, when, since. [12] δοκιμή, ῆς, ἡ, proof, approval. [13] δυνατέω, be able, be powerful. [14] ἀσθένεια, ας, ἡ, weakness, sickness. [15] δοκιμάζω, prove, approve. [16] μήτι, interrogative particle expecting a negative answer. [17] ἀδόκιμος, not passing the test, rejected. [18] εὔχομαι, pray, wish. [19] δόκιμος, tested, approved.

καταρτισιν.[1] Διὰ τοῦτο ταῦτα ἀπὼν[2] γράφω, ἵνα παρὼν[3] μὴ 10
ἀποτόμως[4] χρήσωμαι,[5] κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέν μοι ὁ κύριος εἰς
οἰκοδομήν,[6] καὶ οὐκ εἰς καθαίρεσιν.[7]

Λοιπόν, ἀδελφοί, χαίρετε: καταρτίζεσθε,[8] παρακαλεῖσθε, τὸ αὐτὸ 11
φρονεῖτε,[9] εἰρηνεύετε:[10] καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ'
ὑμῶν. Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.[11] 12

Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. 13

Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ ἡ 14
κοινωνία[12] τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. Ἀμήν.

[1] κατάρτισις, εως, ἡ, being made complete, perfecting. [2] ἄπειμι, go away, depart. [3] πάρειμι, be present, have arrived. [4] ἀποτόμως, severely, rigorously. [5] χράομαι, use, make use of. [6] οἰκοδομή, ῆς, ἡ, building, edification. [7] καθαίρεσις, εως, ἡ, tearing down, destruction. [8] καταρτίζω, mend, fit. [9] φρονέω, think, judge. [10] εἰρηνεύω, bring to peace, be at peace. [11] φίλημα, τος, τό, kiss. [12] κοινωνία, ας, ἡ, fellowship, contribution.